***Armas de Zeus, Plutón y Poseidón. Dominios de cada uno de ellos.***

*Καὶ* ***Κύκλωπες*** *τότε Διὶ μὲν διδόασι βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνόν,* ***Πλούτωνι*** *δὲ κυνέην, Ποσειδῶνι δὲ τρίαιναν· οἱ δὲ τούτοις ὁπλισθέντες κρατοῦσι* ***Τιτάνων****, καὶ καθείρξαντες αὐτοὺς ἐν τῷ* ***Ταρτάρῳ*** *τοὺς ἑκατόγχειρας κατέστησαν φύλακας. αὐτοὶ δὲ* ***διακληροῦνται*** *περὶ τῆς ἀρχῆς, καὶ λαγχάνει Ζεὺς μὲν τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάσσῃ, Πλούτων δὲ τὴν ἐν Ἅιδου.*

| | | |
|---|---|---|
| *Κύκλωψ, -ωπος* | *(ὁ)* | *Cíclope* |
| *Τιτάνες, -άνων* | *(οἱ)* | *Titanes* |
| *Πλούτων, -ωνος* | *(ὁ)* | *Plutón* |
| *Τάρταρος, -ου* | *(ὁ)* | *Tártaro* |
| *διακληρόω* | | *echar la suerte (acerca de algo o sobre algo)* |
| *ἀρχή, -ῆς* | *(ἡ)* | *poder* |